mutationem. Planis autem habitus similitudo, & paritas nihil interpellat, nec membris vllam præstat quietem, sed efficit, vt mouendi ratio continuetur. At verò si breuis sit, nimietas quidem motus nulla in planis fatigabit: accliuibus autem, quoniam immutatio vehemens & contraria corpus modò sursum, modò deorsum vexat, fatigetur necesse est. Talis verò motus, vt dictum est, qui per ardua agitur: contrarius, qui per plana.

2 Quam ob causam, qui animo deficiunt, & qui præ nimio exercitandi labore dissoluuntur, mole corporis contractiore existunt, vocémque reddere acutiorem putantur? An quia voces minores mittuntur, ideò acutiores esse videntur. Argumentum, quòd qui clamantes à longè imitantur, acutè proferunt. Moles autem corporum minores idcirco redduntur, quòd sanguis à summis corporis partibus seuocat ad imas. 3 Cur venter tantummodo extenuatur eorum qui se exercitationi dederunt? An quoniam venter pingue amplectitur plurimum.

4 Cur pingue eorum absumitur, qui se laboribus dedunt: caro autem nullatenus emaceratur? An quoniam pingue con calfactum liquescit: quod carni non euenit. Motio autem concalfacit. 5 Cur venter opimus admodum esse solet? Vtrum quòd cibo propinquus est: dúmque cætera membra ex ventre hauriunt, venter ipse sibi sæpius ingerit. An quoniam minimè venter laborat: flexibus enim hic nullis contorquetur. 6 Cur melius fatigationes tum cessant, cùm quis ex aqua oleo permista se perfricuit? An quoniam oleum magis subire cum aqua potest, quàm si per se ipsum est: ducitur enim suapte natura, vt innatet, & fluitet. Vbi autem subiit, corpus subinde amplius emollitur. An quia oleum natura calidum est: calidum autem quodque & siccat, & indurat. At membris fatigatis, siccitas & durities incommodæ omnino sunt, mistum igitur aquæ eò plus iuuat, quò minus siccat. 7 Cur lassis corporibus euomendum præcipitur, cùm tamen vomitus sit laboriosus? An quòd lassitudo collisis ossibus, aut pressatis, aut fatigatis consequi soleat: quos quidem affectus patiuntur extrinsecus, aut intrinsecus, ídque bifariam: aut enim cũ copia carnis vires exuperauit ossium, aut cùm frequens corpus se cætero corpori miscuit, quo locum sibi obtinere aptè non possit: quale genus excrementorum est. Pondera enim quæcunque extrinsecus corpori applicentur, laboriosiora sunt, quàm ipsa corporis membra, etiam

A μεταβολήν· ἐν δὲ τοῖς ὁμαλέσιν, ἡ ὁμοιότης τοῦ σχήματος οὐ διαλαμβάνει, οὐδὲ ἀναπαύει τὰ μέρη, ἀλλὰ συνεργάζεται πρὸς τὸ συνεχῆ εἶναι τὴν κίνησιν. ὅταν δὲ ἡ βραχεῖα, διὰ μὲν τὸ πλῆθος τῆς κινήσεως, ἐν τοῖς ἐπιπέδοις οὐ γίνεται κόπος· ἐν δὲ τοῖς ἀνάντεσιν, διὰ τὸ τὴν μεταβολὴν ἰσχυρὰν γίνεσθαι καὶ ἐναντίαν, ὁτὲ μὲν ἄνω, ὁτὲ δὲ κάτω, ποιεῖ κόπον. τοιαύτη δὲ (ὡς φαμὲν) ἐν τοῖς ἀνάντεσιν· ἐν δὲ τοῖς
B πεδινοῖς τοὐναντίον. β Διὰ τί τοῖς λειποψυχοῦσι καὶ τοῖς ἐκ τῶν γυμνασίων [διαλυομένοις,] ἐλάττους τε οἱ ὄγκοι, καὶ ὀξύτεραι δοκοῦσιν εἶναι αἱ φωναί; ἢ ὅτι αἵ τε φωναὶ ἐλάττους φαινόμεναι, ὀξύτεραι φαίνονται· (σημεῖον δὲ, ὅτι μιμούμενοι τοὺς πόρρωθεν ὀξὺ φθέγγονται) καὶ οἱ ὄγκοι ἐλάττους; γ Διὰ τί ἡ γαστὴρ μόνον λεπτύνεται τῶν
C γυμναζομένων; ἢ ὅτι πλείστη ἡ πιμελὴ περὶ τὴν γαστέρα; δ Διὰ τί τὸ πῖον τετηκόμενον γίνεται τοῖς πονοῦσιν; ἢ διότι τὸ πῖον τήκεται θερμαινόμενον· ἡ δὲ κίνησις θερμαίνει· ἡ δὲ σὰρξ οὐ τήκεται. ε Διὰ τί δὲ τὰ περὶ τὴν κοιλίαν πίονα; πότερον ὅτι ἐγγὺς τῆς τροφῆς; ἐν ὅσῳ οὖν τἄλλα παρ' ἐκείνης λαμβάνει, αὐτὴ πολλάκις λαμβάνει. ἢ ὅτι ἥκιστα πονεῖ; καμπὰς γὰρ οὐκ ἔχει. ς Διὰ
D τί οἱ κόποι μᾶλλον παύονται, ὅταν τις τῷ ἐλαίῳ ὕδωρ συμμίξας ἀνατείψηται; ἢ ὅτι μᾶλλον εἰσδύεται τὸ ἔλαιον μετὰ τοῦ ὕδατος; ἐὰν δὲ αὐτὸ καθ' αὐτὸ ᾖ, οὐχ ὁμοίως παρεισδύνει, διὰ τὸ ἐπιπολαστικὸν εἶναι. μᾶλλον οὖν μαλάττεται τὸ σῶμα εἰσδυομένου, ἐπεὶ τὸ ἔλαιόν ἐστι φύσει θερμόν· τὰ δὲ θερμὰ, καὶ ξηραίνει καὶ σκληρύνει· πρὸς δὲ τοὺς κόπους,
E ἀξύμφορόν ἐστιν ἡ ξηρασία καὶ ἡ σκληρότης. μετὰ δὲ τοῦ ὕδατος ἀνατειφθὲν, ἧττον ξηραίνει. ζ Διὰ τί τοῖς κοπιῶσι προστάττουσιν ἐμεῖν, εἴπερ ὁ ἔμετος κοπώδης ἐστιν; ἢ κόπος γίνεται, ὀστῶν θλωμένων καὶ πιεζομένων καὶ κοπιωμένων· ταῦτα δὲ ὑπὸ τῶν ἐκτός τινος πάσχοι ἄν, ἢ τῶν ἐν τῷ σώματι· καὶ τοῦτο διττῶς. ἢ γὰρ σαρκῶν ὑπερτεινουσῶν τὴν δύναμιν αὐτῶν, ἢ σώμα-
F τος μιχθέντος συχνοῦ τῷ ἄλλῳ σώματι, χώραν οἰκείαν οὐκ ἔχοντος, οἷα τὰ περιττώματά ἐστι. πάντα γὰρ ἐκτὸς ἡμῖν προσαπτόμενα βάρη, κοπωδέστερα τῶν τοῦ σώματος μερῶν,